κευομένοις ἐπαινοῦντες καὶ τρέφοντες. σωφροσύνην τε γὰρ ὡς
ἀγροικίαν ψέγουσιν ἐν ἀσώτοις, κἂν πλεονέκταις καὶ κακούρ-
γοις καὶ πλουτοῦσιν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ πονηρῶν αὐ-
τάρκειαν [δὲ] καὶ δικαιοσύνην ὡς ἀτολμίαν καὶ ἀρρωστίαν πρὸς
τὸ πράττειν· ὅταν δὲ ῥαθύμοις καὶ σχολασταῖς καὶ τὰ μέσα
φεύγουσι τῶν πόλεων ὁμιλῶσιν, οὐκ αἰσχύνονται πολιτείαν D
μὲν ἀλλοτριοπραγίαν ἐπίπονον, φιλοτιμίαν δὲ κενοδοξίαν ἄκαρ-
πον ὀνομάζοντες. ἤδη δὲ καὶ ῥήτορος ἔστιν κολακεία διασῦραι
φιλόσοφον, καὶ παρὰ γυναιξὶν ἀκολάστοις εὐδοκιμοῦσι τὰς
μονολεχεῖς καὶ φιλάνδρους ἀναφροδίτους καὶ ἀγροίκους ἀπο-
καλοῦντες. ὑπερβάλλει δὲ μοχθηρίᾳ τὸ μηδ' ἑαυτῶν ἀπέχεσθαι
τοὺς κόλακας. ὡς γὰρ οἱ παλαισταὶ τὸ σῶμα ποιοῦσι ταπεινόν,
ὅπως ἑτέρους καταβάλωσιν, οὕτω τῷ ψέγειν ἑαυτοὺς εἰς τὸ
θαυμάζειν τοὺς πλησίον ὑπορρέουσιν. 'ἀνδράποδόν εἰμι δει-
λὸν ἐν θαλάσσῃ, πρὸς τοὺς πόνους ἀπαγορεύω, μαίνομαι κα- E
κῶς ἀκούσας ὑπ' ὀργῆς· ἀλλὰ τούτῳ' φησίν 'οὐδέν ἐστι δει-
νόν, οὐδὲν πονηρόν, ἀλλ' ἴδιος ἄνθρωπος, πάντα πρᾴως φέρει,
πάντα ἀλύπως.' ἂν δέ τις οἰόμενος πολὺν ἔχειν νοῦν καὶ βουλό-
μενος αὐστηρὸς εἶναι καὶ αὐθέκαστος ὑπὸ δή τινος ὀρθότητος
ἀεὶ προβάλληται τό (K 249)

'Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει',

οὐ ταύτῃ πρόσεισιν ὁ τεχνίτης κόλαξ, ἀλλ' ἔστι τις ἑτέρα μη-
χανὴ πρὸς τὸν τοιοῦτον. ἥκει γὰρ αὐτῷ περὶ πραγμάτων ἰδίων
ὡς δὴ φρονῆσαι περιττοτέρῳ συμβουλευσόμενος, καί φησι μᾶλ- F
λον μὲν ἑτέρους ἔχειν συνήθεις, ἐνοχλεῖν δ' ἀναγκαίως ἐκείνῳ·
'ποῦ γὰρ καταφύγωμεν οἱ γνώμης δεόμενοι, τίνι δὲ πιστεύ-
σωμεν;' εἶτ' ἀκούσας ὅ τι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας
οὐ γνώμην ἄπεισιν. ἂν δὲ καὶ λόγων τινὸς ἐμπειρίας ὁρᾷ μετα-
ποιούμενον, ἔδωκέ τι τῶν αὐτῷ γεγραμμένων, | ἀναγνῶναι καὶ 58